www.tezaurliturgic.ro

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

Τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν

# Θ Ε Ο Δ Ω Ρ Ο Υ

Τοῦ Ὁμολογητοῦ καί Γραπτοῦ, Αὐταδέλφου

Θεοφάνους τοῦ Ποιητοῦ.

-.-.-.-.-.-

Μνήμη: ΚΖ΄ ΔΕΚΕΜΒΡΙΟΥ

-.-.-.-.-.-.-

Ποίημα Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου

Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

-.-.-.-.-.-.-.-

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

Τοῦ Ὁσίου καί Θεοφόρου
Πατρός ἡμῶν

ΘΕΟΔΩΡΟΥ

τοῦ Ὁμολογητοῦ καί Γραπτοῦ
Αὐταδέλφου Θεοφάνους τοῦ Ποιητοῦ.

-.-.-.-.-.-.-

Μνήμη: ΚΖ' Δεκεμβρίου

-.-.-.-.-.-

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στίχους δ' καί ψάλλομεν τά παρόντα
Στιχηρά Προσόμοια.

Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων.

Τούς διωγμούς καί τάς θλίψεις, ὑπέρ Εἰκόνος Χριστοῦ, ἡ ἐν ὑψίστοις Πάτερ, ἀληθής εὐφροσύνη, καί ἄληκτος φαιδρότης καί χαρμονή, διεδέξαντο Ἅγιε, ὧν μετασχεῖν ἐκδυσώπει τούς εὐλαβῶς, ἀνυμνοῦντας σε Θεόδωρε.

Πυρί τῆς θείας ἀγάπης, Πάτερ Θεόδωρε, ἐφλέχθης ὑπομένων, τῆς σαρκός τάς στρεβλώσεις, σεβόμενος Εἰκόνα τήν τοῦ Χριστοῦ, ὑπέρ ἧς καί τό πρόσωπον, πυρί σιδηρῷ ἐγράφης καί πρός ζωήν, τήν ἀθάνατον ἀνέδραμες.

Τόν τοῦ Κυρίου ἐπ' ὤμων, Σταυρόν ἀράμενος, Θεόδωρε τρισμάκαρ, εὐηρέστησας τούτῳ, ἐγράφης τῷ προσώπῳ καί μιμητής, τῶν παθῶν αὐτοῦ γέγονας· ὅθεν τό στέφος ἐδέξω ἐν οὐρανοῖς, θεῖε Πάτερ τό ἀμάραντον.

Τῶν ἀρετῶν διαλάμπων τοῖς κατορθώμασιν, ὁμολογίας στόμα, ἀληθῶς ἀνεδείχθης· Εἰκόνων τῶν Ἁγίων κηρύξας τρανῶς, τήν προσκύνησιν Ἅγιε, ὑπέρ ὧν ἤνεγκας πόνους ἐν τῇ σαρκί, ὥσπερ ἄσαρκος Θεόδωρε.

Δόξα... Ἦχος δ'.

Τό φρόνημα τῆς σαρκός, ὑποτάξας τῷ Πνεύματι, ναός τῆς Ἁγίας Τριάδος, Ἱερώτατος γέγονας, τῇ καθαρᾷ ζωῇ σου, παμμακάριστε Θεόδωρε, καί τῇ σεπτῇ σου ὁμολογίᾳ, ὑπέρ τῶν Ἁγίων Εἰκόνων, στῦλος ἐδείχθης τῆς Ἐκκλησίας· Διό ἐν τοῖς οὐρανοῖς οἰκῶν, σύν τῷ σῷ ἀδελφῷ Θεοφάνη πρέσβευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Καί νῦν... Τῆς Ἑορτῆς, Ὁ Αὐτός.

Σπηλαίῳ παρῴκησας, Χριστέ ὁ Θεός, Φάτνη ὑπεδέξατο, Ποιμένες δέ καί Μάγοι προσεκύνησαν. Τότε δή τῶν Προφητῶν ἐπληροῦτο τό κήρυγμα· καί Ἀγγέλων αἱ Δυνάμεις ἐθαύμαζον, βοῶσαι καί λέγουσαι· Δόξα τῇ συγκαταβάσει σου, μόνε Φιλάνθρωπε.

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χάρις τοῦ Παντουργοῦ, Πνεύματος σοί ἐδόθη, ὁμολογίας Πάτερ, καί ὤφθης τῶν Εἰκόνων, ὑπέρμαχος Θεόδωρε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Σκεῦος τῶν ἀρετῶν, κειμήλιον δογμάτων, σεπτή στηλογραφία, καί φύλαξ τῶν Εἰκόνων, Θεόδωρε γεγέννησαι.

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Τρίβον τῶν ἀρετῶν, βαδίσας θεοφόρως, ὁμολογίας στέφος, Θεόδωρε ἐδέξω, καλῶς ἀγωνισάμενος.

Δόξα... Τριαδικόν.

Φύσις τρισολαμπής, ὁμόδοξε Θεότης, Πάτερ Υἱέ καί Πνεῦμα, λιταῖς τοῦ Θεοδώρου, σῶζε τούς σέ δοξάζοντας.

Καί νῦν... Θ ε ο τ ό κ ι ο ν.

Πόνους καρτερικούς, ὑπήνεγκε προθύμως, Θεόδωρος ὁ θεῖος, ὑπέρ τῆς σῆς Εἰκόνος, καί τοῦ Υἱοῦ σου Πάναγνε.

Τό, Νῦν ἀπολύεις, τό Τρισάγιον καί τό Ἀπολυτίκιον, ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ.

Καί Ἀ π ό λ υ σ ι ς

-.-.-.-.-.-

www.tezaurliturgic.ro


## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ,
Εἰς τό Κύριε Ἐκέκραξα, ἱστῶμεν Στίχους ς.
Καί ψάλλομεν τά παρόντα Στιχηρά Προσόμοια.

Ἦχος δ. Ὡς Γενναῖον ἐν Μάρτυσιν.

Ξενιτείας τοῖς τραύμασι, προσετέθη σοι τραύματα, ἐξορίας Ὅσιε χαλεπότητι, τοῦ παρανόμως διέποντος, τόν θρόνον τόν ἔννομον, καί συγχέοντος δεινῶς, τούς θεσμούς τούς τῆς πίστεως, καί τήν ἄχραντον, τοῦ Σωτῆρος Εἰκόνα καθέλοντος· ὅν τῇ χάριτι τῇ θείᾳ, Χριστοῦ θεράπον κατῄσχυνας.

Οὐ φρουροί σέ οὐ στένωσις, οὐδέ σκότος ἀνήμερον, οὐ πληγαί καί μάστιγες περιέσχυσαν, τῆς πρός Χριστόν ἀγαπήσεως, χωρίσαι Θεόδωρε· οὐδέ νόσος χαλεπή, καί μακρά καί δυσφόρητος· οὐδέ ἔνδεια, τῆς τροφῆς Θεορρῆμον· ἀλλ᾽ ἀτρέπτως, ἐκαρτέρησας προβλέπων, τήν τῶν σῶν πόνων ἀντίδοσιν.

Ἀντί θλίψεως ἄνεσιν, ἀντί πόνων ἀπόλαυσιν, ἀντί σκότους ἔλλαμψιν σοι δεδώρηται, ὁ Ἀθλοθέτης ὁ δίκαιος· ἀντί δέ θεσπέσιε, τῆς ἐν ὄψει σου γραφῆς, ζωῆς βίβλῳ ἐγγέγραψαι· Ἐκκλησίᾳ δέ πρωτοτόκων ἐτάγης, ἐν ὑψίστοις, καί Ἀγγέλων πανηγύρει, περιχαρῶς προσελήλυθας.

Ὁ Αὐτός. Ἔδωκας σημείωσιν.

Σκεῦος Ἱερώτατον, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἀρετῶν τό κειμήλιον, δογμάτων τῆς πίστεως, ὁ ἄγρυπνος φύλαξ, τῆς ὁμολογίας στηλογραφία ἡ σεπτή, τῶν Μοναζόντων σεπτόν ἀγλάϊσμα, Εἰκόνα ὁ τιμήσας δέ, τοῦ Ζωοδότου τῆς κτίσεως, ὁ Θεόφρων Θεόδωρος, ἀνυμνείσθω ἐν ᾄσμασιν.

Μάχαιραν ὡς δίστομον, ἐκ τοῦ Θεοῦ κομισάμενος, τόν σόν λόγον Θεόδωρε, τά στίφη κατέβαλες, τῶν αἱρετιζόντων, καί νίκης στεφάνους, ἀναδησάμενος λαμπρῶς, Θεῷ παρέστης τῷ Παντοκράτορι· ᾧ πρέσβευε μακάριε, τοῖς εὐσεβάστως τιμῶσί σε, δωρηθῆναι ὡς εὔσπλαγχνος, τῶν πταισμάτων τήν ἄφεσιν.

Βίον ἐνθεώτατον, ἀνύων Πάτερ Θεόδωρε, Ἀσκητής ὡς Θεόληπτος, ἐδέ-

www.tezaurliturgic.ro



ξω θερμότατα, τούς ὑπέρ τῆς δόξης, Χριστοῦ τοῦ Σωτῆρος, ἀγῶνας τούς μαρτυρικούς, Εἰκονομάχοις ἀντιταττόμενος, καί τούτων τήν πρόνοιαν, καταβαλών τῇ δυνάμει σου, πρός ζωήν ὑπερκόσμιον, νικηφόρος ἀνέδραμες.

Δόξα... Ἦχος β.

Ἀνάθημα Θεῷ εὐάρεστον, προθυμώτατα γενόμενος, τῆς ἐν Χριστῷ τελειότητος, θεῖον ὄργανον ὤφθης· καί τόν καλόν διήνυσας δρόμον, καί ὑπέρ τῶν Ἁγίων Εἰκόνων, ἀγωνισάμενος στερρότατα, πᾶσιν ἐκήρυξας, τήν τιμήν αὐτῶν, παμμάκαρ Θεόδωρε· Διό Χριστός σέ προσελάβετο, καί αἰωνίως σε ἐδόξασεν, ἐν τῇ ἀφθάρτῳ δόξῃ τῆς αὐτοῦ Βασιλείας· ὤ πρέσβευε Πάτερ, ρύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καί νῦν... Τῆς Ἑορτῆς. Ὁ Αὐτός

Μέγα καί παράδοξον θαῦμα, τετέλεσται σήμερον. Παρθένος τίκτει, καί μήτρα οὐ φθείρεται· ὁ Λόγος σαρκοῦται καί τοῦ Πατρός οὐ κεχώρισται. Ἄγγελοι μετά Ποιμένων δοξάζουσι, καί ἡμεῖς σύν αὐτοῖς ἐκβοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ καί ἐπί γῆς εἰρήνη.

Εἴσοδος, τό Φῶς ἱλαρόν, τό Προκείμενον
τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.
(Κεφ.γ. 1 )

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· Οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καί ἐπισκοπήν ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro



Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.
( Κεφ. ε΄ 15 )

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, Ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν, εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν· καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζα. Ἀγανακτήσει κατ᾽αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλήσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.
( Κεφ. δ΄ 7 )

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ. Διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί, ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον· ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα Ἦχος α΄

www.tezaurliturgic.ro



Ἀγάλλου ἐν Κυρίῳ, ἡ Ἐκκλησία σήμερον, Θεόδωρον τόν Ὁμολογητήν, περιφανῶς ἀνυμνοῦσα· εὐσεβείας γάρ δειχθείς κανών, καί ἀσκητικῇ πολιτείᾳ, τύπος καί ὑπόδειγμα ἐναρέτου βίου ὤφθη· καί ποικίλων βασάνων τόν δρόμον στερρῶς ἀνύσας, εἰκονομάχων δέ τά φρυάγματα καταβαλών, τήν ὀρθήν τήν Ἐκκλησίας δόξαν ἐτράνωσεν, ὡς θεῖον ὄργανον· ἀπαύστως πρεσβεύων, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Προθύμως Θεῷ ἀναθέμενος, τῆς παρ' αὐτοῦ δεδομένης χάριτος ἐντρυφήσας Πάτερ· κατέβαλες στερρότατα εἰκονομάχων τά φρυάγματα, ἀσκητικοῖς ἀγῶσι, σαυτόν ἀπαρνησάμενος, εὐσέβειαν τοῖς πᾶσιν ἐδίδαξας· ἐκκλησίας ἀδάμας καί στύλος ἄσειστος ὑπάρχων, Θεόδωρε μακάριε τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύων, ὑπέρ τῶν πίστει καί πόθῳ τιμώντων τήν μνήμην σου Ὅσιε.

Ἦχος γ'.

Ὡς θεία Εἰκών, τῆς κατά Χριστόν πολιτείας, τῆς τοῦ Δεσπότου ἐν ὑλικῇ μορφῇ Εἰκόνα, τιμῶν προσεκύνεις, ὁμολογηταί τῆς ἀληθείας,παμμάκαρ Θεόδωρε· καί ἀγωνισάμενος ὑπέρ αὐτῆς, κακουχίας καί θλίψεις ὑπέμεινας, καί τῷ προσώπῳ, ἐγράφης πυρωμένῳ σιδήρῳ· Διό ὑπέρ τόν ἥλιον ἐκλάμψας, Πάτερ Ὅσιε, νῦν σύν Χριστῷ ἐν οὐρανοῖς, οἰκῶν, πρεσβεύων αὐτῷ ἀδιαλείπτως, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τόν ἐν Ὁσίοις, Ὁμολογητήν, καί τοῦ Θεοῦ θεράποντα γνήσιον, Θεόδωρον τόν μέγιστον, τόν τῆς Ἐκκλησίας ἀραγέστατον στῦλον, ᾠδαῖς ἀσμάτων εὐφημήσωμεν· ἐν Ὁσιότητι γάρ καί δικαιοσύνῃ, φαιδρύνας τόν βίον, ὁμολογίας ἀγῶσι τούς πιστούς ἐδίδαξεν, τήν ὀρθήν πίστιν φυλάττειν, καί τῶν Εἰκόνων ὑπέρμαχος γέγονεν· Διό καί τόν στέφανον τῆς ἀφθαρσίας, παρά Χριστοῦ ἐδέξατο· ᾧ καί πρεσβεύει δοθῆναι ἡμῖν, ἱλασμόν καί τό θεῖον ἔλεος.

Δόξα... Ἦχος πλ.δ'.

Ὅσιε Πάτερ, Θεόδωρε μακάριε, τίς σέ κατ' ἀξίαν ἐπαινέσει; ἤ τίς δυνήσεται ἀληθῶς, ἐξειπεῖν τῆς ζωῆς σου, τά θαυμαστά προτερήματα· Χριστόν γάρ ἀγαπήσας κόσμου τά τερπνά κατεφρόνησας, δοχεῖον τοῦ

www.tezaurliturgic.ro



Πνεύματος ἐγένου· καί βασάνους ὑπομείνας, τῷ προσώπῳ ἐγράφης, πυρωμένῳ σιδήρῳ, εἰκονομάχους κατεφρόνησας, καί τοῦ σοῦ Δεσπότου τήν Εἰκόνα ἐτόμησας· Καί νῦν αὐτῷ συμβασιλεύων ἐν οὐρανοῖς, ἀδιαλείπτως πρέσβευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν... Τῆς Ἑορτῆς. Ὁ Αὐτός.

Παράδοξον μυστήριον, οἰκονομεῖται σήμερον, καινοτομοῦνται φύσεις, καί Θεός ἄνθρωπος γίνεται· ὅπερ ἦν μεμένηκε, καί ὅ οὐκ ἦν προσέλαβεν, οὐ φυρμόν ὑπομείνας οὐδέ διαίρεσιν.

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις Ἀσκητικῶν ἀληθῶς.

Χαίροις τῶν Μοναζόντων Κανών, ὁ τόν ζυγόν τοῦ Δεσπότου ἀράμενος, καί τούτῳ ἀκολουθήσας ἐν ὁλοτρόπῳ σπουδῇ, καί πολλῇ ἀσκήσει βίου κρείττονος· καί τούτου ἐτίμησας, τήν Εἰκόνα τήν ἄχραντον, μυρίοις πόνοις, ὁμιλήσας Θεόδωρε, καί κακώσεσιν, ἀνενδότῳ φρονήματι· ὅθεν ἡ ἐπουράνιος τρυφή σέ ἐδέξατο, καί ἡ ἀνέκφραστος δόξα, καί ἡ ζωή ἡ ἀΐδιος, ἐν ᾗ σύν Ἀγγέλοις, συγχορεύων ἡμῖν αἴτει, τό θεῖον ἔλεος

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις τῶν Μοναζόντων φωστήρ, Εἰκονομάχων καθαιρέτης ὁ κράτιστος· Αὐτῶν γάρ τήν πλάνην Πάτερ, λόγοις καί ἔργοις ὁμοῦ, διελέγχων πᾶσιν ἐστηλίτευσας· ἐντεῦθεν ὑπέμεινας, ἐξορίας Θεόδωρε, ὁμολογήσας τοῦ Κυρίου τό ὄνομα, καί τό πρόσωπον, τῷ πυρί σύ ἐγγέγραψαι. Ὅθεν τῶν ὑπέρ ἔννοιαν χαρίτων ἠξίωσαι, τῶν ἀγαθῶν κληρονόμος, τῶν αἰωνίων γενόμενος. Χριστόν ἐκδυσώπει, καί ἡμᾶς ἀξιωθῆναι, τούς σέ γεραίροντας.

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Χαίροις τῶν Μοναζόντων κρηπίς, τῆς Ἐκκλησίας Ἱερόν σεμνολόγημα, πραότητος θεῖος οἶκος, ὁμολογίας κανών, προσευχῆς Ἁγίας ἐργαστήριον, Θεόδωρε Ὅσιε, Παρακλήτου τό σκήνωμα, τῶν Ὀρθοδόξων, ὁδηγός ὁ σωτήριος, εἰκονομάχων καθαιρέτης στερρότατος· Ὅθεν τούς ἑορτάζοντας τήν πάνσεπτον μνήμην σου, λιταῖς ἀόκνοις σου ῥῦσαι, τῆς ἐπηρείας τοῦ ὄφεως, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

www.tezaurliturgic.ro



Δόξα... Ἦχος πλ.β΄.

Ὅτε ὁ δυσσεβής βασιλεύς, Θεόφιλος διωγμόν ἐπρόσταξεν, τῶν Ἁγίων Εἰκόνων, τότε τοῦ Δεσπότου τήν Εἰκόνα, Θεοφρονως ἐτίμησας, Θεόδωρε πάνσοφε· Ὅθεν καί γραφείς τῷ προσώπῳ, σύν τῷ αὐταδέλφῳ Θεοφάνη, πυρωμένῳ σιδήρῳ· Νῦν δέ ἐν οὐρανοῖς οἰκῶν, σύν αὐτῷ πρέσβευε, ὅπως τύχωμεν, καί ἡμεῖς τῶν χαρίτων τοῦ Ἁγίου Πνεύματος, καί κληρονόμοι γενώμεθα τῆς αἰωνίου μακαριότητος.

Καί νῦν... Τῆς Ἑορτῆς. Ὁ Αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν οὐρανῷ, καί ἀγάλλονται σήμερον· σκιρτᾷ δέ πᾶσα ἡ κτίσις, διά τόν γεννηθέντα ἐν Βηθλεέμ Σωτῆρα Κύριον· ὅτι πᾶσα πλάνη, τῶν εἰδώλων πέπαυται, καί βασιλεύει Χριστός εἰς τούς αἰῶνας.

Τό, Νῦν ἀπολυέις,τό Τρισάγιον καί τό Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Χριστῷ συνεσταύρωσαι, ἀσκητικῇ βιοτῇ, μισήσας ὡς πάνσοφος τάς ἐφημέρους τρυφάς, καί πᾶσαν ἀπόλαυσιν· Ὅθεν εἰκονομάχων καθελών τοῖς σοῖς λόγοις,τιμήσας Θεόδωρε, τήν Εἰκόνα τήν θείαν, πρεσβεύων τῷ Κυρίῳ, ὑπέρ τῶν ὑμνούντων σε.

Δόξα..... Ὅμοιον.

Αἰκίας καί μάστιξι, καί τοῦ προσώπου γραφῇ, στερρῶς κατεπάτησας, τήν Θεοφίλου ἰσχύν, Θεόδωρε Ὅσιε. Ὅθεν τήν ἀφθαρσίας, δεδεγμένος τό στέφος, πρέσβευε τῷ Κυρίῳ, ἱλασμόν πταισμάτων, διδόναι τοῖς ἐκτελοῦσι, τήν πάνσεπτον μνήμην σου.

Καί νῦν.... Τῆς Ἑορτῆς. Ὁ Αὐτός

Ἡ Γέννησις σου Χριστέ ὁ Θεός ἡμῶν,ἀνέτειλε.......

Καί Ἀ π ό λ υ σ ι ς.

-.-.-.-.-.-.-.-.-

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄ Τοῦ Λίθου σφραγισθέντος

Τήν θύραθεν σοφίαν, τῇ ἔσω ὑποτάξας, καί ἀσκητικῶς τῆς ψυχῆς σου, τό φρόνημα ὑψώσας, ἐφάνης ὑπέρμαχος στερρός, Εἰκόνος τοῦ τῶν ὅλων Ποιητοῦ· διά τοῦτο σέ τιμῶμεν χρεωστικῶς, Θεόδωρε μακάριε. Δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ Ἁγιάσαντι, δόξα τῷ δωρησαμένῳ σέ ἡμῖν, θεῖον ὑπέρμαχον.

Δόξα...Τό αὐτό...Καί νῦν...Τῆς Ἑορτῆς, Ὅμοιον.

Ὁ θρόνῳ πυριμόρφῳ, ἐν ὑψίστοις καθήμενος σύν Πατρί τῷ Ἀνάρχῳ, καί τῷ θείῳ σου Πνεύματι, εὐδοκήσας τεχθῆναι ἐν σαρκί, ἐκ Κόρης ἀπειράνδρου Ἰησοῦ· διά τοῦτο καί ἀστήρ σε, τοῖς ἐκ Περσίδος Μάγοις καθυπέδειξε. Δόξα τῷ Παναγάθῳ σου βουλῇ· δόξα τῇ ἐπιφανείᾳ σου· δόξα τῇ πρός ἡμᾶς ἄκρα συγκαταβάσει σου.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄ Κατεπλάγη Ἰωσήφ.

Ἐν ἀσκήσει Ἱερᾷ, καταπαλαίσας τόν ἐχθρόν, τήν Εἰκόνα τοῦ Χριστοῦ, τιμᾶν ἐκήρυξας σοφέ, Ὀρθοδοξίας τοῖς δόγμασι διαλάμπων· Θεόφιλος ὁ δεινός, πλείστοις ὑπέβαλε, πόνοις καί ποιναῖς, Πάτερ Θεόδωρε· ἀλλά τῇ σῇ κατεπτοήθη στερρότητι, καί ψυχικῇ ἀνδρειότητι· διό σέ πάντες, Ἱερώτατε, ὑμνοῦντες τιμῶμέν σε.

Δόξα...Τό αὐτό...Καί νῦν...Τῆς Ἑορτῆς, Ὅμοιον.

Ὁ ἀχώρητος παντί, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρός, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν, ὡς ἠθέλησε καί ὡς ηὐδόκησεν· ἄσαρκος γάρ ὤν, ἐσαρκώθη ἑκών καί γέγονεν ὁ ὤν, ὅ οὐκ ἦν δι' ἡμᾶς· καί μή ἐκστάς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος. Διπλοῦς ἐτέχθη, Χριστός τόν ἄνω, κόσμον θέλων ἀναπληρῶσαι.

Μετά τόν Πολυέλεον, Κάθισμα

Ἦχος πλ.δ΄ Ἀνέστης ἐκ νεκρῶν.

www.tezaurliturgic.ro



Ἀγάπη ὁλικῶς τετρωμένος τῇ θείᾳ, Εἰκόνα τήν σεπτήν τοῦ Δεσπότου τιμήσας, καί ὤφθης διδάσκαλος, τῆς Ἐκκλησίας Πάτερ Θεόδωρε, τύπος καί χαρακτήρ τε· Ὅθεν τελοῦντες πιστῶς τήν μνήμην σου, ἐν ἐγκωμίοις πάντες οἱ πιστοί, τιμῶμέν σε συμφώνως.

Δόξα...Τό αὐτό... Καί νῦν...Τῆς Ἑορτῆς, Ὅμοιον.

Παράδοξον πιστοί, τό μυστήριον τοῦτο. Θεός ἐκ γυναικός, ἐγεννήθη ὡς οἶδε· τάγματα τῶν Ἀγγέλων, καταπλαγέντα τῇ καταβάσει αὐτοῦ, κράζουσιν ἀνυμνοῦντα· Ὅτι ἐτέχθη Χριστός ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τό γένος τῶν ἀνθρώπων.

Οἱ Ἀναβαθμοί,τό α. Ἀντίφωνον τοῦ δ. ἤχου.

Προκείμενον. Ἦχος δ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Τό, Πᾶσα πνοή,καί τό Εὐαγγέλιον,ζήτει τό εἰς τήν Λειτουργίαν τοῦ Ἁγίου Σάββα.(Ματθ.ια.27-30)

Ὁ Ν. Ψαλμός

Δόξα.... Ταῖς τοῦ σοῦ Ὁσίου........
Καί νῦν.... Ταῖς τῆς Θεοτόκου..........

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεος σου........

Ἰδιόμελον Ἦχος πλ.β.

Τοῖς ἀσκητικοῖς σου ἱδρῶσι, τούς τῶν εἰκονομάχων σβέσας ἄνθρακας, πυρωμένῳ σιδήρῳ ἐγράφης εἰς τό πρόσωπον, καί ὡς σεπτόν ἀνάθημα, προσηνέχθης τῷ Κυρίῳ, Θεόδωρε μακάριε· καί νῦν ἀμαράντων στεφάνων κοσμηθείς, ἀδιαλείπτως πρέσβευε, ὑπέρ ἡμῶν δεόμεθα Ὅσιε.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου.......

Οἱ Κανόνες, τῆς Ἑορτῆς καί τοῦ Ἁγίου.
Κανών τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:
"Θεοδώρου τούς ἄθλους τιμῶ. Γερασίμου Μ.".

www.tezaurliturgic.ro



'Ωδή α.

Ἦχος α. Ὠδήν ἐπινίκιον.

Θεμέλιον λίθον σε, ἡ Ἐκκλησία, γνωρίζει Θεόδωρε, ὑπέρμαχον Εἰκόνων γεγεννημένον Πάτερ, καί διά τοῦτο σου τιμᾷ τήν μνήμην σήμερον.

Ἔφυγες τά πρόσκαιρα, τοῦ κάτω κόσμου, τόν ἄνω ἀπείληφας, παμμάκαρ Θεόδωρε· διό διδάσκεις ἡμᾶς, ἵνα τιμῶμεν Εἰκόνα τοῦ πάντων Δεσπότου.

Ὅλως ἀντέστης λόγοις, Εἰκονομάχων καί τούς ἀνυμνοῦντας σε, κοινωνούς ἀνέδειξας, Βασιλείας θείας, καί αἰωνίου εὐσεβῶς μάκαρ Θεόδωρε.

Θεοτοκίον

Διπλοῦς τῇ φύσει ὤφθη, ὁ φωτοδότης, φωτίζων τά πέρατα, Ἰησοῦς ὁ Κύριος, Ἄχραντε Δέσποινα· δι' οὗ οἱ ἐν σκότει καί σκιᾷ, φῶς ἐθεάσαντο.

'Ωδή γ. Στερεωθήτω ἡ καρδία μου.

Ὡς ἐπειράθη τῆς ἀνδρείας σου, ὁ τῆς πλάνη διδάσκαλος Πάτερ, βασάνων σε ὑπέβαλε, καί πυρωμένῳ σιδήρῳ, καταγράφει σου τό μέτωπον, παμμάκαρ Θεόδωρε.

Ρήμασι σου τοῖς θείοις ἔτεμες, εἰκονομάχων Πάτερ ἄκανθαν, καί κατεφύτευσας ψυχαῖς, τά σωτήρια δόγματα, ἀρετῶν εὐθυνουμέναις, τῇ αὐξήσει Θεόδωρε.

Ὁ θείῳ Πνεύματι σθενούμενος, πονηρά ἐδίωξας πνεύματα, καί τῷ μοχλῷ τῶν προσευχῶν, εἰκονομάχους καθεῖλες, τήν ἐκκλησίαν στηρίζων Θεοφόρε Θεόδωρε.

Θεοτοκίον.

Ὑπέρ ἡμῶν ἐβλάστησας ῥάβδον, τόν Χριστόν ἐν ᾧ στηριζόμεθα· σέ γάρ ἐτύπου Ἀαρών, ῥάβδον ποτέ βλαστήσασα, ἀγεώργητε Ἁγνή, Θεοτόκε Ἀειπάρθενε.

Κάθισμα. Ἦχος γ. Θείας πίστεως.

www.tezaurliturgic.ro



Στόμα πέφηνας τῆς παρρησίας, θράσος τύραννον μεγαλοφρόνως, καταισχύνας καρτερία τῶν ἄθλων σου· ἐκκεντηθείς γάρ τάς ὄψεις Θεόδωρε, διά Χριστοῦ τήν Εἰκόνα τήν πάνσεπτον, ἐβεβαίωσας, τιμᾶν καί δοξάζειν ἅπαντας, αἰτούμενος ἡμῖν, τό μέγα ἔλεος.

Ἕτερον. Δόξα... Ἦχος ὁ Αὐτός. Τήν Ὡραιότητα.

Πόνοις ἀσκήσεως καλλωπιζόμενος, ἄθλους διήνυσας, Μαρτύρων Ὅσιε, ὑπέρ Εἰκόνος τοῦ Χριστοῦ, Θεόδωρε μακάριε, καί ταῖς κακουχίαις σου καί πολλαῖς ἐξορίαις σου, πᾶσαν καταβέβληκας, τῆς αἱρέσεως ἔπαρσιν· καί νῦν συνών Ἀγγέλων τοῖς δήμοις, ἐξαίτει ἡμῖν πταισμάτων ἄφεσιν.

Καί νῦν... Τῆς Ἑορτῆς. Ὅμοιον.

Θαῦμα παράδοξον, γέγονε σήμερον· ὁ γάρ Σωτήρ ἡμῶν, ἐν τῷ Σπηλαίῳ σαρκί, ὤφθη ἐκ Παρθένου, δι' ἡμᾶς καθώς ἐπίσταται. Μάγοι μετά δώρων δέ, ὡς Βασιλεῖ προσεκύνησαν. Ποιμένες μετ' Ἀγγέλων τε, ἐδοξολόγουν αὐτόν· μεθ' ὧν καί ἡμεῖς βοῶμεν αὐτῷ· Δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

Ὠδή δ'. Κατενόησα Παντοδύναμε.

Τούς θολερούς χειμάρους Θεόδωρε τῶν Εἰκονομάχων, τῇ σῇ διδασκαλίᾳ κατεξήρανας.

Ὁ τῷ πελάγει τῆς σῆς σοφίας τῆς πλάνης καί τοῦ ψεύδους, τούς τιμῶντας σε Θεόδωρε ἔσωσας.

Ὑπέρμαχος Εἰκόνων Πάτερ Θεόδωρε γενόμενος, πᾶσι κηρύξας Θεῷ μόνῳ λατρεύειν.

Θεοτοκίον.

Σύ ὑπέρμαχος οὖσα Ἄχραντε ἡμῶν τῶν σέ τιμώντων, Εἰκονομάχων τά θράση κατάβαλε.

Ὠδή ε'. Τήν σήν εἰρήνην δός ἡμῖν.

Ἀπέστη πρό προσώπου σου, φραγμός εἰδωλικός, θύρα δέ, ἠνοίχθη τοῖς

www.tezaurliturgic.ro


ἔθνεσι, καί διεδόθη χάριν ἔνθεος, τοῖς τῶν πιστῶν καρδίαις, παμ-
μάκαρ Θεόδωρε.

Θαυμάτων ἐπιδείξεσιν, ἐζώγρησας λαούς, λόγῳ σου εἰκονομάχους βα-
λῶν, καί πᾶσιν ἐδίδαξας Θεόφρον, τιμῶντας τήν Εἰκόνα, τοῦ Χριστοῦ
Θεόδωρε.

Λαμπροῖς σοι κατορθώμασι, ἐκλάμψας σοφέ, μεγίστης εὐκλείας Θεόθεν
ἠξίωσαι, τῶν Ἀγγέλων ἰσοστάσιος, ὤφθης ἐν ὑψίστοις, τρισμάκαρ
Θεόδωρε.

Θ ε ο τ ο κ ί ο ν.

Ὄμβρος θεῖος, τῇ μήτρᾳ σου, κατῆλθεν ὁ Χριστός Ἄχραντε καί ὄμβ-
ρους ἐξήρανε, πολυθείας καί ἐπήγασε, θεογνωσίας ὕδωρ, τοῖς ἐν
φλογμῷ ἀπάτης..

Ὠδή ς. Τόν Προφήτην Ἰωνᾶν.

Ὑψώσας σου τό ὄμμα, καί λαμπρύνας δαψιλῶς, Ἰησοῦς ὁ φωτισμός,
τῶν ἁπάντων καί Θεός, τῷ λόγῳ σου,εἰκονομάχων,λαούς ἐρρύσατο.

Σύ λαμπρυνθείς ὡς χρυσός, τῇ χωνείᾳ τῶν δεινῶν παθημάτων τοῦ Χρι-
στοῦ, Θεόδωρε παμμάκαρ, ἐκσφράγισμα, ἐδείχθης θείοις ἀποτεθείς
κησαυροῖς.

Τελέσας Θεόδωρε, τῶν ἀγώνων τήν ὁδόν, καί ἐστένωσας ὁδούς, εἰκονο-
μάχων Πάτερ· καί ἔφθασας, τάς εὐρυχώρους, σκηνώσεις τῶν οὐρανίων
νοῶν.

Θ ε ο τ ο κ ί ο ν

Ἰδού ἔτεκες Υἱόν, ὅν οὐκ ἔσπειρε Πατήρ, διαμείνασα Ἁγνή, μετά
τόκον ὥσπερ ἦς Θεός οἶδεν, ὁ πάντα πράττων, ὅπως ἄν βούληται.

Κοντάκιον Ἦχος γ. Ἡ Παρθένος σήμερον.

Προσευχαῖς καί δάκρυσιν, οἰκειωθείς τῷ Κυρίῳ, ὁμολογίᾳ τῇ σῇ, Εἰ-
κονομάχους καθεῖλες· πόνοις γάρ τῆς ἐγκρατείας καλῶς ἐμπρέψας,τοῦ
Χριστοῦ τήν Εἰκόνα λαμπρῶς ἐτίμησας· διά τοῦτο Θεόδωρε, τιμῶντες
σε, Ὀρθοδοξίας φωστήρ.

www.tezaurliturgic.ro



Ὁ Οἶκος

Προθύμως τόν Σταυρόν, ἀράμενος πανένδοξε, καί εἰς θώρακα δέ τήν πίστιν ἐνδυσάμενος, πρός πάλην ἐξῆλθες τῶν μιαρωτάτων εἰκονομάχων, Πάτερ Θεόδωρε, καί τούτων κατέβαλες τάς παρατάξεις, σθένει τοῦ Πνεύματος· οὗ ἐμφορούμενος πλουσίως Ὅσιε, καμοί παράσχου τήν θείαν χάριν, φωταγωγοῦσαν μου τόν νοῦν, ἀξίως τοῦ ὑμνῆσαι τούς ἀγῶνας σου τούς γενναίους, Ὀρθοδοξίας φωστήρ.

Σ υ ν α ξ ά ρ ι ο ν

Τῇ ΚΖ' τοῦ μηνός Δεκεμβρίου, μνήμη τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Θεοδώρου τοῦ Γραπτοῦ, ἀδελφοῦ Θεοφάνους τοῦ Ποιητοῦ.

Στίχ. Αὐχεῖν ἔχει τι καί Θεόδωρος μέγα,
Ἐκ γῆς ἀπαίρων, ὡς μέγας στίξις θέας.
Ἑβδομάτῃ Θεόδωρος εἰκάδι γέρα εἴληφεω ἐκ τῶν ἄνω.

Στίχοι Ἰαμβικοί, γραφέντες τῷ προσώπῳ τοῦ Ἁγίου Θεοδώρου, καί ἀδελφοῦ αὐτοῦ Θεοφάνους, παρά Θεοφίλου Βασιλέως, ἐν σιδήρῳ πυρωθέντι.

Πάντων ποθούντων προστρέχειν πρός τήν πόλιν,
Ὅπου πάναγνοι τοῦ Θεοῦ Λόγου πόδες.

Ἔστησαν, εἰς σύστασιν τῆς Οἰκουμένης,
Ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ.

Σκεύη πονηρά δεισιδαίμονος πλάνης,
Ἐκεῖσε πολλά λοιπόν ἐξ ἀπιστίας.

Πράξαντες δεινά αἰσχρά δυσσεβοφρόνως,
Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.

Πρός τήν πόλιν δέ τοῦ κράτους πεφευγότες,
Οὐκ ἐξαφῆκαν τάς ἀθέσμους μωρίας.

Ὅθεν γραφέντες ὡς κακοῦργοι, τήν θέαν,
Κατακρίνονται καί διώκονται πάλιν.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον, καί σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



Ὠδή ζ'. Τούς ἐν καμίνῳ παῖδάς σου.

Μωροῖς ξοάνοις σέβας οὐδαμῶς, ἀπένειμας σεβόμενος δέ τήν Εἰκόνα, τοῦ δι' ἡμᾶς σαρκί ὀφθέντος, καί τοῦ πλάνου, τήν ἰσχύν καθελόντος· ὅθεν ζωῆς ἀληθοῦς Θεόδωρε ἔτυχες.

Ὡς τοῦ φωτός πολίτης οὐρανῶν, γεγέννησαι πάντα τά τοῦ κόσμου παριδών, καί ἐκ ψυχῆς τόν οὐρανοῦ καί γῆς ποιητήν, ἀγαπήσας πάνσοφε· ὅθεν τιμῶμεν τήν σήν ἑορτήν Θεόδωρε.

Γέγονας φωτός δοχεῖον Πάτερ, τῇ δυνάμει τοῦ Σταυροῦ τόν ὄφιν πατήσας, καί τήν Εἰκόνα τοῦ Κτίστου σου ἐτίμησας, διό τούς σέ ὑμνοῦντας, παμμάκαρ Θεόδωρε, τῶν δεινῶν ἀπάλλαξον.

Θεοτοκίον

Ἐκ σοῦ μυστικῶς τεχθείς ὁ Θεός, τό φύραμα Ἄχραντε θεώσας τῶν βροτῶν· καί κοινωνούς φύσεως θείας ἐκτελέσας, τούς σέ μακαρίζοντας, ἐν γυναιξίν ἀληθῶς Εὐλογημένη Ἁγνή.

Ὠδή η'. Ὅν φρίττουσιν Ἄγγελοι.

Ῥεόντων, παντοίων τε, καί βασάνων τῆς σαρκός, ἠλόγησας ἔρωτι, φλεγόμενος Θεοῦ, καί χαίρων συνήφθης, τόν ἀγῶνα καλῶς, τόν σόν ἐκτελέσας, τρισμάκαρ Θεόδωρε.

Ἀπέκρουσας παμμάκαρ, τυράννων ἀπειλάς, καί βασάνους ἐδέξω, ὑπέρ τῆς πίστεως, καί τήν Εἰκόνα τιμήσας τοῦ Χριστοῦ Πάτερ Θεόδωρε, ὑπέρ ἡμῶν πρέσβευε.

Σύ τήν Εἰκόνα Χριστοῦ, δεικνύων τοῖς λαοῖς, ἑκών ἣν ἐφόρεσεν, ἑνούμενος ἡμῖν, φρικτά Θεόδωρε, δι' αὐτῆς ἐκτελεῖς, τῶν εἰκονομάχων, κακίαν ἀναστέλλων.

Θεοτοκίον

Ἰδού πάντες σέ πύλην, καί θείαν κιβωτόν, καί στάμνον χωρήσασαν, τό μάννα τῆς ζωῆς, καί Ἅγιον ὄρος ὀνομάζομεν, Παρθένε Μαρία, ἀεί Εὐλογημένη.

www.tezaurliturgic.ro


ᾨδὴ θ'. Τύπον τῆς Ἁγνῆς λοχείας σου.

Μέσον τῆς νυκτός Πανεύφημε, διαδραμών τήν ἡμέραν σύ κατέφθασας, τήν ἀνέσπερον, μαρτυρικῶς ἀγαλλόμενος, τῇ σῇ ὁμολογίᾳ Θεόδωρε, καί θείας βασιλείας, ἀκηράτου ἀξιούμενος.

Ὅλον τόν Χριστόν κτισάμενος· κόσμου γάρ ὅλου δι'αὐτόν καταλέλοιπας. Καί νῦν παμμάκαρ σκηνώσεις οὐρανίους οἰκῶν, σύν χορείαις τῶν ἄνω Δυνάμεων, καί σεπτῷ Θεοφάνει, Πατέρων τό κλέος Θεόδωρε.

Ὕμνος οὐκ ἀρκεῖ τιμῆσαί σε, τόν οὐρανοπολίτης, Πάτερ Θεόδωρε· τά τοῦ κόσμου φθαρτά ὡς πρόσκαιρα σύ παριδών, πρός ἀγῶνας στερρούς προσεχώρησας, Εἰκόνα δέ τοῦ Χριστοῦ τιμᾶν πάντας ἡμᾶς ἐδίδαξας.

Θεοτοκίον

Μῆτερ Ἄχραντε Θεοτόκε, λύτρωσις ἐπέφανε, ἐκ σοῦ πᾶσι βροτοῖς· Πατρός γάρ φρικτῶς ἄνευ σπορᾶς ἐσωμάτωσας, τόν ὑπέρχρονον Λόγον καί Κύριον. Ὅθεν ἀεί ὑμνοῦμεν, τά ὑπέρ λόγον μεγαλεῖά σου.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀσκητικοῖς παλαίσμασιν, εὐαρεστήσας Ὅσιε, τῷ Πανοικτίρμονι Λόγῳ, σῇ προσευχῇ καί νηστείᾳ, αὐτοῦ τήν θείαν Εἰκόνα, ἐτίμησας Θεόδωρε· διό καί δόξης κρείττονος, σύν τῷ σεπτῷ Θεοφάνη, κατηξιώθης Παμμάκαρ.

Τῆς Ἑορτῆς Ὅμοιον.

Εἰκόνος ἧς μετέλαβον, Θεουργικῶς τῆς κρείττονος, ἐξώσθην οἴμοι ὁ τλήμων· δι'ἀκρασίας τῆς πάλαι· σύ δέ Χριστέ ὡς εὔσπλαγχνος, ἀρρήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με, παρθενικῶν ἐξ αἱμάτων.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ' καί ψάλλομεν τά παρόντα
Στιχηρά προσόμοια τοῦ Ὁσίου.

Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Θεόφρον Θεόδωρε, ἀνδρειοτάτῃ ψυχῇ, τούς κινδύνους ὑπέμεινας

www.tezaurliturgic.ro



καί τάς θλίψεις Ἅγιε, καί πληγάς τε, καί μάστιγας, ὑπέρ τῆς θείας Εἰκόνος Ὅσιε, τοῦ σαρκωθέντος δι' ἀγαθότητα· ὤ τίς ἐξείπη σου, τῆς ψυχῆς τό εὔτονον. διό Χριστός, τῶν ὑπέρ κατάληψιν, σέ κατηξίωσαι.

Πάτερ Θεόφρον Θεόδωρε, ἀνατεθείς τῷ Χριστῷ, κοσμικῆς σχέσεως, ὁλικῶς ἐμάκρυνας, Θεολήπτῳ φρονήματι, καί Ἰσαγγέλως πολιτευσάμενος, τήν Εἰκόνα τιμήσας τοῦ Κτίστου σου, Πνεύματι δέ θείῳ αὐτόν ὁμολογήσας, καί ἀρετῆς ὤφθης ἐν τοῖς πέρασιν, μύστης Θεόσοφος.

Πάτερ Θεόφρον Θεόδωρε, Ὀρθοδοξίας φωτί, τηλαυγῶς αὐγαζόμενος, τῇ Ἐκκλησίᾳ Χριστοῦ, νοητόν φῶς ἀνέτειλας, καί τήν σκοτίαν τῶν Εἰκονομάχων, τῶν διδαχῶν σου αὐγαῖς διέλυσας. Ὅθεν δεδόξασαι, ἐν ὑψίστοις Ἅγιε πανευκλεῶς, καί Χριστῷ παρίστασαι, νῦν εὐφραινόμενος.

Πάτερ Θεόφρον Θεόδωρε, τῆς σωφροσύνης Εἰκών, ἀνεδείχθης ὑπέρμαχος, τῆς Εἰκόνος τοῦ Χριστοῦ· Ἐκκλησίας καί στήριγμα, τῆς ἀληθείας μέγιστος πρόβολος, εἰκονομάχων δριμύς τε ἔλεγχος. Ὅθεν τιμῶμεν σε, ἐν ᾠδαῖς γηθόμενοι οἱ εὐσεβεῖς, τήν Ἁγίαν μνήμην σου, πανηγυρίζοντες.

Δόξα... Ἦχος πλ.α.

Ὡς τῆς σοφίας σεπτόν δοχεῖον, καρτεροψύχως διήνυσας, τούς διπλούς ἀγῶνας Πάτερ· ἐν ἀσκήσει γάρ καθεῖλες, τόν τοῦ σκότους ἄρχοντα, καί ἐν στερρᾷ ὁμολογίᾳ, τῶν ἐν τῇ Ἐκκλησίᾳ, θείων παραδόσεων, Θεοτύπωτον τό κῦρος ἔδειξας, τῷ τοῦ σοῦ προσώπου χαράγματι· διό μεγάλων δωρεῶν, παρά Χριστοῦ ἠξίωσαι, ὡς ὑπέρμαχος τῶν σεπτῶν Εἰκόνων, σύν Θεοφάνῃ τῷ σεπτῷ, μακάριε Θεόδωρε. Ὅθεν πάντες ἡμεῖς ταῖς σαῖς διδαχαῖς ἑπόμενοι, γεραίρομεν τήν μνήμην σου, ἱκετεύοντες σε, πρεσβεύειν πάντοτε τῷ σῷ Δεσπότῃ, διδόναι πᾶσι τό θεῖον ἔλεος.

Καί νῦν... Τῆς Ἑορτῆς. Ὁ Αὐτός.

Ἀκατάληπτον τό τελούμενον, ἐν Βηθλεέμ σήμερον μυστήριον. ὁ ἀόρατος ὁρᾶται· ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· καί ὁ Ὤν γίνεται ὅ οὐκ ἦν. Παρθένος τίκτει ἐν Σπηλαίῳ, βρέφος νέον, τόν Πλάστην τῆς φύσεως· Φάτνη ἐκτυποῦται, εἰς θρόνον ἐπουράνιον· κτηνηάπεικάζει, Χερουβικήν παράστασιν. Ποιμένες θαυμάζουσι· Μάγοι δῶρα προσφέρουσιν. Ἄγγελοι ἀνυμνοῦντες λέγουσι· Δόξα ἐν ὑφίστοις Θεῷ, καί ἐπί γῆς εἰρήνη, ἐν ἀνθρώποις γάρ εὐδόκησεν, ἀναλλοιώτως ὁ Ἐμμανουήλ.

4
www.tezaurliturgic.ro



Δοξολογία Μεγάλη, Ἐκτενής καί
Ἀ π ό λ υ σ ι ς.

-.-.-.-.-

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά, οἱ Μακαρισμοί, ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ΄ ᾠδή, καί ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ ς΄ ᾠδή.

Προκείμενον Ἦχος Βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περί πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

Ἀπόστολον, ζήτει τῇ Τετάρτῃ τῆς ιθ΄ ἑβδομάδος.
( Φιλιππισίου Κεφ. Α΄ 12-20)

Ἀλληλούϊα (γ΄) Ἦχος β΄

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον. Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Εὐαγγέλιον, ζήτει εἰς τήν ἑορτήν τοῦ Ἁγ.Παύλου τοῦ Ὁμολογητοῦ,Νοεμβρίου ς΄(Λουκᾶ Κεφ.ΙΒ΄ 8-12)

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον........

Μ ε γ α λ υ ν ά ρ ι ο ν.

Βίον διανύσας Ἀγγελικόν, ὑπέρ τῶν Εἰκόνων,ἠγωνίσω μαρτυρικῶς σύν τῷ Θεοφάνῃ, τῆς δόξης κοινωνήσας,ἐν πόλῳ νῦν ἀγάλλῃ, Πάτερ Θεόδωρε.

<u>Δίστιχον</u>

Δέξαι Θεόδωρε τόν ὕμνον ὡς δῶρον,
Ὅν σοί Γεράσιμον ἐξύφανεν ἤδη.

-.-.-.-.-.-.-.-.-

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

-.-.-.-.-.-